ματεὺς τῷ βασιλεῖ λέγων Βιβλίον ἔδωκέν μοι Χελκιας ὁ ἱερεύς·
καὶ ἀνέγνω αὐτὸ Σαφαν ἐναντίον τοῦ βασιλέως. [19]καὶ ἐγένετο ὡς 19
ἤκουσεν ὁ βασιλεὺς τοὺς λόγους τοῦ νόμου, καὶ διέρρηξεν τὰ ἱμά-
τια αὐτοῦ. [20]καὶ ἐνετείλατο ὁ βασιλεὺς τῷ Χελκια καὶ τῷ Αχικαμ 20
υἱῷ Σαφαν καὶ τῷ Αβδων υἱῷ Μιχαια καὶ τῷ Σαφαν τῷ γραμμα-
τεῖ καὶ τῷ Ασαια παιδὶ τοῦ βασιλέως λέγων [21]Πορεύθητε ζητήσατε 21
τὸν κύριον περὶ ἐμοῦ καὶ περὶ παντὸς τοῦ καταλειφθέντος ἐν Ισρα-
ηλ καὶ Ιουδα περὶ τῶν λόγων τοῦ βιβλίου τοῦ εὑρεθέντος· ὅτι
μέγας ὁ θυμὸς κυρίου ἐκκέκαυται ἐν ἡμῖν, διότι οὐκ εἰσήκουσαν
οἱ πατέρες ἡμῶν τῶν λόγων κυρίου τοῦ ποιῆσαι κατὰ πάντα τὰ
γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ. [22]καὶ ἐπορεύθη Χελκιας καὶ οἷς 22
εἶπεν ὁ βασιλεὺς πρὸς Ολδαν τὴν προφῆτιν γυναῖκα Σελλημ υἱοῦ
Θακουαθ υἱοῦ Χελλης φυλάσσουσαν τὰς στολάς — καὶ αὕτη κατ-
ῴκει ἐν Ιερουσαλημ ἐν μασανα — καὶ ἐλάλησαν αὐτῇ κατὰ ταῦτα.
[23]καὶ εἶπεν αὐτοῖς Οὕτως εἶπεν κύριος ὁ θεὸς Ισραηλ Εἴπατε τῷ 23
ἀνδρὶ τῷ ἀποστείλαντι ὑμᾶς πρός με [24]Οὕτως λέγει κύριος Ἰδοὺ 24
ἐγὼ ἐπάγω κακὰ ἐπὶ τὸν τόπον τοῦτον, τοὺς πάντας λόγους τοὺς
γεγραμμένους ἐν τῷ βιβλίῳ τῷ ἀνεγνωσμένῳ ἐναντίον τοῦ βασι-
λέως Ιουδα, [25]ἀνθ᾽ ὧν ἐγκατέλιπόν με καὶ ἐθυμίασαν θεοῖς ἀλλο- 25
τρίοις, ἵνα παροργίσωσίν με ἐν πᾶσιν τοῖς ἔργοις τῶν χειρῶν αὐ-
τῶν· καὶ ἐξεκαύθη ὁ θυμός μου ἐν τῷ τόπῳ τούτῳ καὶ οὐ σβε-
σθήσεται. [26]καὶ ἐπὶ βασιλέα Ιουδα τὸν ἀποστείλαντα ὑμᾶς τοῦ 26
ζητῆσαι τὸν κύριον, οὕτως ἐρεῖτε αὐτῷ Οὕτως λέγει κύριος ὁ θεὸς
Ισραηλ Τοὺς λόγους, οὓς ἤκουσας [27]καὶ ἐνετράπη ἡ καρδία σου 27
καὶ ἐταπεινώθης ἀπὸ προσώπου μου ἐν τῷ ἀκοῦσαί σε τοὺς λό-
γους μου ἐπὶ τὸν τόπον τοῦτον καὶ ἐπὶ τοὺς κατοικοῦντας αὐτὸν
καὶ ἐταπεινώθης ἐναντίον μου καὶ διέρρηξας τὰ ἱμάτιά σου καὶ
ἔκλαυσας κατεναντίον μου, καὶ ἐγὼ ἤκουσά φησιν κύριος· [28]ἰδοὺ 28
προστίθημί σε πρὸς τοὺς πατέρας σου, καὶ προστεθήσῃ πρὸς τὰ
μνήματά σου ἐν εἰρήνῃ, καὶ οὐκ ὄψονται οἱ ὀφθαλμοί σου ἐν πᾶ-
σιν τοῖς κακοῖς, οἷς ἐγὼ ἐπάγω ἐπὶ τὸν τόπον τοῦτον καὶ ἐπὶ τοὺς
κατοικοῦντας αὐτόν. καὶ ἀπέδωκαν τῷ βασιλεῖ λόγον. — [29]καὶ ἀπ- 29
έστειλεν ὁ βασιλεὺς καὶ συνήγαγεν τοὺς πρεσβυτέρους Ιουδα καὶ
Ιερουσαλημ. [30]καὶ ἀνέβη ὁ βασιλεὺς εἰς οἶκον κυρίου καὶ πᾶς Ιουδα 30
καὶ οἱ κατοικοῦντες Ιερουσαλημ καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ
πᾶς ὁ λαὸς ἀπὸ μεγάλου ἕως μικροῦ· καὶ ἀνέγνω ἐν ὠσὶν αὐτῶν

18 βιβλιον] + νομου A†, + ο B*† || 19 τους λογους > B† | και $2^{0}$ > A || 20 αβδων] αβδοδομ B†: cf. I 15 24 | ασαια] ισ. B(†) || 21 τον > B | καταλειφθ.] περιλειφθ. A† | ιουδα] pr. εν A† | εισηκουσαν] εισ > B† || 22 και $2^{0}$ > A† | θακουαθ] καθουαλ B† | χελλης B†] εσσερη A(†) | στολας Ra.] εντολας mss. | κατοικει B† | μασανα compl.] μαασαναι B†, μεσαναι A† || 25 εθυμιασαν] εθυσαν A | αλλοτριοις] ετεροις A†: cf. Regn. IV 22 17 || 30 βασ.] + ιουδα A | οι $1^{0}$ > B†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/919 UNIVERSITÄT LEIPZIG